𝔊 καὶ ἰδοὺ τράγος αἰγῶν ἤρχετο ἀπὸ δυσμῶν ἐπὶ προσώπου τῆς
γῆς καὶ οὐχ ἥπτετο τῆς γῆς, καὶ ἦν τοῦ τράγου κέρας ἓν ἀνὰ
μέσον τῶν ὀφθαλμῶν αὐτοῦ. [6]καὶ ἦλθεν ἐπὶ τὸν κριὸν τὸν τὰ 6
κέρατα ἔχοντα, ὃν εἶδον ἑστῶτα πρὸς τῇ πύλῃ, καὶ ἔδραμε πρὸς
αὐτὸν ἐν θυμῷ ὀργῆς. [7]καὶ εἶδον αὐτὸν προσάγοντα πρὸς τὸν 7
κριόν, καὶ ἐθυμώθη ἐπ᾿ αὐτὸν καὶ ἐπάταξε καὶ συνέτριψε τὰ δύο
κέρατα αὐτοῦ, καὶ οὐκέτι ἦν ἰσχὺς ἐν τῷ κριῷ στῆναι κατέναντι
τοῦ τράγου· καὶ ἐσπάραξεν αὐτὸν ἐπὶ τὴν γῆν καὶ συνέτριψεν
αὐτόν, καὶ οὐκ ἦν ὁ ῥυόμενος τὸν κριὸν ἀπὸ τοῦ τράγου. [8]καὶ ὁ 8
τράγος τῶν αἰγῶν κατίσχυσε σφόδρα, καὶ ὅτε κατίσχυσε, συν-
ετρίβη αὐτοῦ τὸ κέρας τὸ μέγα, καὶ ἀνέβη ἕτερα τέσσαρα κέρατα
κατόπισθεν αὐτοῦ εἰς τοὺς τέσσαρας ἀνέμους τοῦ οὐρανοῦ. [9]καὶ 9
ἐξ ἑνὸς αὐτῶν ἀνεφύη κέρας ἰσχυρὸν ἓν καὶ κατίσχυσε καὶ ἐπά-
ταξεν ἐπὶ μεσημβρίαν καὶ ἐπ᾿ ἀνατολὰς καὶ ἐπὶ βορρᾶν· [10]καὶ 10
ὑψώθη ἕως τῶν ἀστέρων τοῦ οὐρανοῦ, καὶ ἐρράχθη ἐπὶ τὴν γῆν
ἀπὸ τῶν ἀστέρων καὶ ἀπὸ αὐτῶν κατεπατήθη, [11]ἕως ὁ ἀρχιστρά- 11

5 της γης $1^{0}\frown 2^{0}$ 88 | κερας εν] + ※θεωρητον 88 Sy || 7 επαταξε] + ※τον κριον 88 Sy

---

θ′ ἐγὼ ἤμην συνίων καὶ ἰδοὺ τράγος αἰγῶν ἤρχετο ἀπὸ λιβὸς ἐπὶ
πρόσωπον πάσης τῆς γῆς καὶ οὐκ ἦν ἁπτόμενος τῆς γῆς, καὶ τῷ
τράγῳ κέρας θεωρητὸν ἀνὰ μέσον τῶν ὀφθαλμῶν αὐτοῦ. [6]καὶ ἦλθεν 6
ἕως τοῦ κριοῦ τοῦ τὰ κέρατα ἔχοντος, οὗ εἶδον, ἑστῶτος ἐνώπιον
τοῦ Ουβαλ καὶ ἔδραμεν προς αὐτὸν ἐν ὁρμῇ τῆς ἰσχύος αὐτοῦ.
[7]καὶ εἶδον αὐτὸν φθάνοντα ἕως τοῦ κριοῦ, καὶ ἐξηγριάνθη πρὸς 7
αὐτὸν καὶ ἔπαισεν τὸν κριὸν καὶ συνέτριψεν ἀμφότερα τὰ κέρατα
αὐτοῦ, καὶ οὐκ ἦν ἰσχὺς τῷ κριῷ τοῦ στῆναι ἐνώπιον αὐτοῦ· καὶ
ἔρριψεν αὐτὸν ἐπὶ τὴν γῆν καὶ συνεπάτησεν αὐτόν, καὶ οὐκ ἦν ὁ
ἐξαιρούμενος τὸν κριὸν ἐκ χειρὸς αὐτοῦ. [8]καὶ ὁ τράγος τῶν αἰγῶν 8
ἐμεγαλύνθη ἕως σφόδρα, καὶ ἐν τῷ ἰσχῦσαι αὐτὸν συνετρίβη τὸ
κέρας αὐτοῦ τὸ μέγα, καὶ ἀνέβη κέρατα τέσσαρα ὑποκάτω αὐτοῦ
εἰς τοὺς τέσσαρας ἀνέμους τοῦ οὐρανοῦ. [9]καὶ ἐκ τοῦ ἑνὸς αὐτῶν 9
ἐξῆλθεν κέρας ἓν ἰσχυρὸν καὶ ἐμεγαλύνθη περισσῶς πρὸς τὸν νό-
τον καὶ πρὸς ἀνατολὴν καὶ πρὸς τὴν δύναμιν· [10]ἐμεγαλύνθη ἕως 10
τῆς δυνάμεως τοῦ οὐρανοῦ, καὶ ἔπεσεν ἐπὶ τὴν γῆν ἀπὸ τῆς δυ-
νάμεως τοῦ οὐρανοῦ καὶ ἀπὸ τῶν ἄστρων, καὶ συνεπάτησεν αὐτά,
[11]καὶ ἕως οὗ ὁ ἀρχιστράτηγος ῥύσηται τὴν αἰχμαλωσίαν, καὶ δι᾿ 11

5 απτομενος] pr. ο A | θεωρητον] > BQpau., in *O* sub ※ | ανα > B† || 6 εστωτος] εστως B† | ενωπιον] ανα μεσον A† || 7 αυτον $1^{0}$ > A† | εξηγριανθη B 393(uid.)†] -γριωθη rel. || 8 κερατα] pr. ετερα A || 9 και προς ανατολην > B† || 10 απο ult. > A† | συνεπατησεν(B† -σαν) αυτα] -πατηθη Apau. || 11 εως ου] ου > B: cf. 7 22